Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-237222-p0001-5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-237222-p0002-0

XXXIII.

# DE MIRACVLIS MATHEMATICORVM

CARMEN, QVOD

in laudem mathematicarum disciplinarum & honorem præstanti doctrina & humanitate iuuenum DD.

*GEORGII BECCERI* }
*MATERNI HERTELII* } *Lipsiens.*
*IOANNIS SCHVLTESII* *Ermslebiensis,*

suorum amicorum, & quondam auditorum conscripsit & misit

## M. Christoph. Hunichius D.

*Cum in solenni procerum Academiæ Lipsicæ conuentu, Philosophiæ & opt. art. Magistri dicerentur à clarißimo viro D. M. NICOLAO LISCA tum temporis Decano collegij philosophici.*

*HÆREDES IOHANNIS STEINMANNI IMPRIMEBANT.*

*Anno M. D. XC.*

32

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-237222-p0003-6

ERgóne conatus vestri superare magistri
Vos quoq; Pieridum feruidus vrget amor?.
Impetus hic alios rapuit quos ardua sacri
Me duce Parnassi iuuit adire iuga.
Et tenet hic alios quos magna palatia Phœbi
Mox inferre suos fortè videbo pedes.
Iam mihi si pedibus contingeret ire per auras
Alatis, Phylire nónne petenda citò?
Heu mala, non vestros cernat, quem vultis, honores,
Ipsius ergo geret nuncia Musa vices.
Nuncia Musa nouo redimiri tempora flore
Parnasiæ lauri vestra videbit ouans:
Collegijq; Noui subiens pòst tecta, Lycæi
Nuncia præfectis grata salutis erit.
Et, nisi tanta virûm series reuocârit agrestem
Fingere quos poterit sparget ab ore sonos.
Tum veniam, proceres, timidæ non claudite Musæ
Si bona non facili verba lepore fluent.
Forsan &, à veteri quia sede remota, leporis
Nescia Sarmatico murmure mista fluent.
Rumpe moras mea Musa tibi Phyliræa videnda
Mœnia sunt properè, Iam citò rumpe moras.

Lublinecij ex aula Gener. & Magnif. D. D. Ioannis Kochtitzky &c. Cæs. M. Consil. Domini & Mæcenatis sui.

ΑΝΘΡΩΠΩΝ στιβαρὲς φῦλον σφόδροντε Γίγαντας
παῖδας Ἀλωῆος μεγάλῳ ζείδωρος ἀρούρη
θρέψε πάλαι Διῒ χωομένη Τιτῆνας ἀγαυοὺς
ὅττ' ἐνενικήκει τε βίῃ καὶ κάρτεϊ χειρῶν.
ἀλλ' οἱ μὲν Κρονίδου Ζηνὸς τὰ σκῆπτρα φορῆναι
ἦ μὲν ἀπείποντες γ' ἀρχὴν, πολεμήϊα τεύχη
θώρηκας θέντες περὶ χρῶσι, θεοῖσιν ἀπείλουν
φυλόπιδα στήσειν πολυάϊκος πολέμοιο,
δείμαον ὑψηλοὺς πύργους καὶ τείχεα μακρὰ
Ὄσσαν ἐπ' οὔλυμπον βάλλοντες κ' αὖθις ἐπ' ὄσσαν
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἄμβατος εἴη
τρήχυας οἷσιν ἐνισχόμενοι πέτρας μεγάλας τε
σφυζούσας δὲ δρύας διὸς ἠκόντιζον ἐς αὐλὴν
ἀκρόπολίν τε θεῶν, ἁγνὸν ζητοῦντες ὄλυμπον
δαιμόνι' ἠδὲ ποτὶ χθόνα ταύτην πάντα βαλέσθαι.
Τοῦτο μένος μερόπων πολυθαρσὲς γ' ἔσκε καὶ ἀλκὴ
πυκναίων τὸ ἄελπτα θεοῖς αὖ πᾶσι βεβλήκοι
πήματ' εἰ οὐχὶ Διὸς χαλεπὸς μεγάλοιο κεραυνὸς
καί γε βίῃ ἄλλων κρατερὴ ἐσάλκῃ ἐκείνους
γαῖαν ὑπὸ στυγερὴν δόμον ἐς κρυερῶ ἀΐδαο.
ἀλλά τυ ζεῦ τε θεοῖσι καὶ ἀνθρώποισι ἀνάσσων
οὔθελε τῶν τοι ἀπαλλάττειν παραλείμματα οὕτως
ἄνδρας μὲν ῥώμην ξείνοις δυνάμίν τε ὁμοίους
οὐχὶ δ' εὐσεβίην νυ μαθηματικοὺς, ὅτιν ἐντὶ
ἴδριες ἢ ἁγίων, νόου ἢ λούσοντες ὀπωπαῖς
ἁγναίῃσί τε, μηδεμία κρατεροῖο τοιούτω
ἐστὶ κατάρξησις μένεος, διδαχῆς τε τοιαύτης
καὶ τῶκεν μεὸ μοῦσ' ἔραται μάλα θαύματα ἀνδρῶν
θηπὰ μαθηματικῶν σεὸ ἐγκρίνοντος ἀείδειν.
ἄρχετε σικελικαὶ μέλεος νῦν ἄρχετε μοῖσαι.

Πῆμα μέγ' ἀμπλακίῃ γινησάντων κακοεργὴς
πρώτων θῆκε βροτοῖσι, θεοῦ διαφθεῖρε τέλειον

εἰκόνα ὅπιν ἀνεμβάντοις καταχεῦσαι ψέφεσι
τρήϊον αἰγλήεντα νόον γ' ἀρετῶν ὑπὸ πασῶν,
ἠδὲ κολουομένη μεγάλως πειώσιον ἀλκήν.
ἀλλὰ πάλιν μέγα ἔθλον εὖς παῖς Ἰαπετοῖο
ἀντιπαρεῖχε, μαθηματικοὺς μυστήρια τεχνῶν
καὶ στένος, οἷον ἔχεσκε πάλαι τῶν φῦλα Γιγάντων,
γιγνώσκων, μεντοίγε τυ ὦ πολύμητα Προμηθεύς,
ὃς δυνάσ' ἄνθρωπον κτίζειν, κ' εἰς οὐρανὸν εὐρὺν
βαινέμεν', αὐτόθεν ἢ φλόγα ἡφέστοιο φέρεσθαι,
πρατλέμεναι κ' εἴδειν φῆναί τυ ὅμοια θεοῖσι.

Ἰδμοσύνη μὲν ἀγαυὸς ἔη γνωρίσαι ἀριθμοὺς
ἠδὲ γεωμετρίης μάλα θέσκελα δόγματα, ὅτι
Πυθαγόρεω σχολὴ πάλαι ἔνθεν ἀπόρρητα πολλὰ
θαυμασμὸν ποιοῦντά τε οἷς παρεῖπε μαθηταῖς.
οὐχὶ δ' ἄδειν λαμπρὰς θυμὸν σπινθῆρας ἰάλλειν
τῆς τε δαημοσύνης περικαλλέος, ἐστὶ νόος τε
πλείονα καὶ θαυμαστὰ κατὰ φρέν' ἀναγνωρίσαι,
μᾶλλον ὁμοίεσθαι κτίσαντι, φύσει ζαθέῃ τε.
εὐγενῆ ὥστε φυῇ ἦεν μέγαλ' ἔργα φίλοιο
πατρὸς εὐστεφάνων τε ἀρετῶν μέγα κῦδος ἄϋπνον
ἢ καταδαρθαίνοντα παρεξιοῦσι μιμεῖσθαι,
μοῦνος ἐνὶ κλητοῦ νόος ἔργμασίν ἐστι γονῆος.

Τοίνυν ἐς ἀτρεκέως ἄνδρας θεϊκοὺς ἀποβαίνειν
ἐλδόμενοί ῥα μαθηματικοί, ἵνα χώρια κόσμου
οὖλα καὶ ἀκρίνας ἐφοδεύειν, ἠγάθεόν τε
γνῶσιν ἐφευρίσκειν οὔλων, τάγε ἐντί, δύνωνται,
θεσπεσίας ταικλαίνονται κρόσσας τε πτερώσαις,
τῇσιν ὀνηχθέντες κύρτον πρὸς ὄλυμπον ὀδεῖσθαι,
εἴς τε βάθος καταβήσασθαι χαρυποῖο θαλάσσης
καὶ ποτ' ἐσώτατα εὐαγέος δαπέδοιο ἀκρῶν
ἢ φιλέουσιν ἀπειρεσίου πετέμμεναι αἴθρης.

ἠνίδε

Ηνίδε πρός τε Διὸς δόμον αἰγλήεντα καὶ αὐλὴν
οὐρανὸν ἀστερόεντα ἑῶν πτερὰ ἔνθεν ἀείρειν
οὐ πικρὸς ἔπι πόνος κείνοις, ἐνταῦθα θεῖον
κλίσμα θεωροῦντες βηλοῖ ἀλύουσιν ἐφ' ὅλα
χώρια, οὐρανίων ἄστρων κύκλουσε πλανητῶν.
δῆτα μετρήσαντες δύσεις τούτων τε πορείας,
καὶ τόδ' αὖ ἦσι ὁμοῦ μέγεθος μέσσον τε καὶ ὕψος
συμπάντων γε, μούνην σκιὰν ἢ τηροῦσι διόπτρας.
ὄφρα χρόνος μὲν στίζηται τετρημένος εἴσω
ἐς μέρη εἰς ὥρας, ἐνιαυτοὺς, ἤματα, μῆνας.
ταυτὶ μὲν οὖν εἰδήσαντες ποτὶ δῶμα νέεσθαι
αὖθις ἐς ὀμβροχαρῆ ἄμμων χαίρουσιν ἀρούρην,
ἠδ' ἐπιφαίνεσθαί ῥα παλιννόστοισι κελεύθοις;
ἠνίδε γυναῖος φέρεται ἐπὶ μάσσονα θυμὸς,
εἰσδύσασκεν ἐπουρανίων τὰ συνέδρι' ἀνάκτων
μήδεα. τὰ φράζουσι, μέλλει τε θέλημα γινώσκειν.
ἔσθ' ὅτεν ἥλιος λοιποῖς ἄστροισιν ἀνάσσων
καὶ βασιλῶν ὕπατός σεο συμβούλους πρυτανῆας
εἰς ἀγορὴν ἀρχαιρεσίην κίκλησκε ποιήσων,
ἐρρεσίας ἵν' ὅπως μερόπων καὶ πρήγματα γαίης
ἡμετέρης ἰθύνοιντο, φράζωνθ' ὁμόφωνοι.
λευκοπάρηος ἐπειγομένη μὲν ὁδοῖο σελήνη
συγκαλέει τε κρόνον, καὶ ὀμβριμόθυμον ἄρηα,
καὶ λοιποὺς ἐς ὁριζόμενόν τε τόπον γε χρόνον τε
πειθόμενοι καὶ ἐφετμοσύναις ἢ ἄποντες ἐροῦσι
ἅστινας ἠερίας θελέωσι καταίγιδας, ἠδὲ
ἥντινα τῶν πολέων τε θεοφροσύνης τε γλίχονται
καὶ χωρῶν τάξιν, μερόπων βίοτόν τε ὁποῖον
παντὸς ἑκάστω, ὃν ἢ θάνατον πότμον τε ἐπισπεῖν.
ἠδ' ὅταν εἰς ἓν ἀγειρομένων παρενήνοθε βουλὴ
ξυμπάντων, κόσμῳ λυγρὸν ἀρτύνονται ὄλεθρον,
πήματος ἢ μεγάλου κ' ἀρρήτω ἔργμα κακοῖο.

Τῶνδε διαγνόντες γνωμῶν, κατὰ οὐλύμποιο
ἔρχονται τοῖς ἀνθρώποις ἀνὰ θέσφατα φαίνειν,
καὶ τάτ᾽ ἐόντα τάτ᾽ ἐσσόμενα προλέγοντες ἄγουσιν
ὄφρα ἀμυνῶνται ἡμῶν ἀπ᾽ ἀείκεα μοῖραν
εὐχωλῆσιν ὀφειλομένης ἢ ἐλαττονέονται.
μηδένα τοίνυν ἔχοντι τόπον πυροφεγγέες αὐλαὶ
οὐλύμποιο καὶ οὐδεμίαν νώρεμνοι ἀκρίνην
οὐρανίων χῶροι βασιλῶν, ταὶ φοιτία οὐχὶ
ἤδε μαθηματικῶν ἂν θηρήσειε πλάνητος;
ἔμβατα μήτεν εἴη, ὃς φαίνει ποικίλα γαίῃ
φάσματα ἡμετέρῃ, ταινίαι ἠὲ κλίματα αἴθρης;
ἴριας ἠνίδ᾽ ἀβρὰς καὶ ἅλως τε παρήλιον, ἠδὲ
πολλὰ φέροντας ἀεὶ κακὰ ἀνθρώποισι κομήτας
φαντὶ ἀπὸ χθονὸς, ἢ ὅσον ὑδροκέλευθα νέφη τε
εὖτιν ἄποντά τις ἄλλων ἦκε τελέσκει ἀπεσώ.
εἰσὶ μὲν οἱ δαπανησάμενοι ἀναλώματα πλεῖστα
ἐς μεγάλην τε πέσοντες ἄτην χαλεπήν τε ἀλῶσι
μακρὰ γέης ἐπὶ ἔσχατα, ὀφθαλμοῖσιν ὁρᾶσθαι
ἄστεα ἀνθρώπων φρένας εὐάγεάς τε γινώσκειν
ἠνὶ μαθηματικῶν κάματος δείκνυσιν ἅπαντα
ἤθεά τοι μερόπων, ὀρέων κ᾽ αἰπεινὰ κάρηνα,
καὶ πέρων καὶ ἄνευ δαπανῶν, πύργους τε πόλεθρα
δενδρέεσιν ἀμφιλαφεῖς ὕλας, νήσους τε θαλάσσης
ἠχηέσσης, ἢ ποταμῶν ἁλιμύρεα ῥέθρα,
ἢ κεθρηϊκίην χιονώδεα ναιετάοντες,
ἤκεν ἐπόπτωνται Σκύθαι, μελανόχροες Ἰνδοί.
οὐδὲ μόνον θέσιν εὐτονέει γνωρίζειν ὁδείας
ὀρθὰς, ἠθ᾽ οὔλων τοὺς βαθμοὺς ἃ ἔντι πολέθρων
καίπερ ὅλοιο μέλει στερέω γαιώδεος εἰδεῖν,
ἢ μετρέειν τε πάχος τε κύκλον χαροποῖο θαλάσσης
ὄφρα βάθος μαθέειν δεινοὺς κολπούς τε διώνται.
ποντοπόρα πηήσουσιν ὁμῶς οὔτωσὶ κέλευθα.

νῆα κυ-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-237222-p0008-4

νῆα κυβερνῆσαι, ὅταν ἐξοιστρῶνται ἄελλαι,
εἰδόντες, πόθι οἶμον ὁδεύοντές τε φέρωνται
ψεύδεα. καὶ τὰ μὲν ἄλλα μόγις κ' ἥδιστος ἀοιδῶν,
ἢ φράζηται ἄναξ, τὸν δὲ ἠΰκομος τέκε λητώ.
δηλαδὴ ὀψῆος συμπτώματα ὅττιν ἅπαντα,
φωτὸς καὶ σκιᾶς τε ὁμῶς εἴδουσιν ἐσόπτρων
φάσματα ἢ μελανόπτερ' ἀεὶ πόθεν ἠέρος ἧκον.
πολλάπλοον γὰρ παῦρα δαημοσύνην τε φαεινὸν
φλαῦρα λέγω ἱκανῶς οὐ δηλόεν ἠδὲ ἐπαινεῖν
ἐνδέχεται, ὡς ἡμετέρων λύχνος πολυφεγγὴς
ἄρθρον τῶν λοιπῶν ἄστρων ξύμπαντα καλύπτει.
ἀρκέει ὅττι μέγας λαμπρῷ θεὸς αἰθέρι ναίων
τήνδε μαθηματικῶν γνῶσιν θαυμάζει ἐχόντων.
οὐ γὰρ θέσφατα θεῖα σοφῇ κεχαραγμένα βίβλῳ
αὐσαλέην ἀπόφησι κρόκην μετεχέμμεν ἀριθμοῦ;
ἦνι μαθηματικὸς μολέει ψαμάθοιο ἀριθμὸν
πτεράων ἀκριβῆ καὶ αἴτια δῆλα φανίζων.
οὐ γὰρ θέσφατα θεῖα σοφῇ κεχαραγμένα βίβλῳ
ἄστρων καὶ μέγεθος κ' ἀγνοεῖσθαι φασὶν ἀριθμόν;
ἦνι μαθηματικὸς μολέει, μὴ μοῦνον ἀριθμῶν
ἀστέρας ἠδὲ διδοὺς ὄνομα πλείστοισι, σελήνης,
ἀλλὰ καὶ ἠελίῳ λοιπῶν χ' ὑψώματα γνῶσας
καὶ μέγεθος, καὶ ἂν εἴη ἀπὸ χθονὸς ἥτις ἀπεστώ.
οὐ γὰρ θέσφατα θεῖα σοφῇ κεχαραγμένα βίβλῳ
Περσίαν εἰπέσκουσι μάγους καὶ δῶρα ἄνακτι
κόσμου, καὶ βρέφεϊ στεφανάρχῳ πέμψαι ἰησῷ.
ἦνι μαθηματικῶν γνῶσις τεχνῶν τε νεορτὸς
(ὡς ἐπέοικεν ἐὸν κλιστὴν καὶ ἄστρα φανίσαι)
φαινόμενός γ' ἐνὶ οὐλύμπῳ καταμηνύεν ἀστήρ.
οὐ γὰρ θέσφατα θεῖα σοφῇ κεχαραγμένα βίβλῳ
οὓς ὑδάτων μεγάλους κατακλυσμοὺς φησὶν ἀρούρην
χηρῶσαι πάρος ἐξ ἄστρων πρόβλεψεν ἀδαμός.

ἀλλὰ τί δεῖ πλείω φλεῦαι; οὕτωσιν ἔοικε
χώρια νῦν ῥα μαθηματικῶν ἐμπλήθεν ἅπαντα,
πάντα καὶ εἰδέμεναι, βασιλεὺς πόλου ἀστερόεντος
ὡς ἀνάπαντας ἀγάζε τόπους, ἀνάπαντα καὶ οἶδε.
ἔννεπε μᾶλλον ἐμοὶ πολὺ μείζω ἔργματα μοῦσα
καὶ ἀμίμητα, μαθηματικοὶ τὰ πλεῖστα δάησαν]
θαύματα ἴσα Διὸς σχεδίην πεπαλεμμέναι ἔργοις.
Παντοκράτειρα φύσις βραδέως ἐκνικᾷ ἑαυτῆς.
τοιαύτην νυ μαθηματικῶν μήπω γ᾽ ἐπενέγκῃ
ῥώμην, πρὸ κρονίδου ναίοντος ἐν αἰθέρι Ζηνός,
ἠδὲ μαθηματικοὺς θελέῃ ἀποκτείνειν ὀλέθρῳ,
τῷ πάλ᾽ Ἀλωῆος τέκος ἢ Τιτῆνες ἀγαυοὶ
κάτθανον ὡς ἐξώλειαν βδύλλουσα βίαιον.
Τίπτε φύσιν νῦν φημί; θεῶν μέγα φέρτατος ἄλλων
Ζεὺς καὶ παντοκράτωρ θαμβήσας αὖ ἄλγεα πολλὰ
πάσχοι μηδὲ φέροι δύναμιν καὶ ἄσχετον ἀλκὴν
τήνδε μαθηματικῶν, εἰ μὴ φιλοθεΐα τις ἔργα
εὐδικίῃ καὶ ἀκηρασίῃ κοινῶν τε διοικῇ.
δώματα οὐλύμπου τε κύκλους ἄστρων τε πορείας
ἔκτισ᾽ ὁ ξύμπαντα πατὴρ θεὸς ἡνιοχεύων,
ῥήτερον χ᾽ ἵν᾽ ἀποβλέψαι ἢ βλέψαι ἔησι,
ἀλλὰ μαθηματικῶν δύναμις καὶ ὅμοια αὐτὴν
τολμᾶται, οὐλύμπου σφαίρας φαίνουσα κίνησιν,
ἁρμονίην τε ἐσηγαθέοις ἐνὶ πήγμασι τέχνης.
αἰθέρος ἀγνοέει τις δώματα ἀρχιμεδάο
δαίδαλον ἐξ ὑάλοιο μὲν ἐργασίην ἀναπλᾶσαι
ὥστε περ αὐτόματος κύκλων ἄστρων τε κινήσεις
τοῦ μαγγάνοιο τροπὴ μιμέηται ἁπάντων;
λοιπὰ τίς ἐξ ἄρεος πεποιημένα ἠδὲ τύλοιο
ἡμετέροιο μαθηματικῶν οὐκ οἶδε χρόνοιο;
μάσσονα φημίζω, φύσις οὐ τοιαῦτα τελέσοι
οἷα μαθηματικοὶ τὸ ἐνὶ στερέησιν ἐκείνῃ

Φαίνου

Φαίνε μόγις σφαίρησιν, ἐν ἰσοπέδῳ δείκνυσιν
ἐνδυκέως οὗτοι, πλέω ἄλλα μιμούμενοι οὖλα
μέσσαγε καὶ τοὺς μὲν κύκλους τε πόλους τε πορείας.
ὄργανα ἔνθεν ἐς ἰσόπεδα γραφθέντα φύουσι
ἀστρολαβῶν, ἢ κοδράντης ἢ σχήματα ἄλλα.
οὔτε μιμεῖσθαι ἄθλῳ φύσιν ἐστὶ, μέλλει τε κρατεῖσθαι
ἐξαιρεῖσθαι ἑοῖο τόπῳ πολὺ θυμὸς ἀγήνωρ
εὐρυχόροιο τόσον γ᾽ ἄρα βούλεται ὄγκον ἀερύρης.
πειθόμενον πάλαι ὥσπερ ἐῇ διάκουε βίηφι
Ἀρχιμέδην Ἱέρων μεγαλοφρονεέμμεναι, οὐκοῦν
ἀρνησώμεθ᾽ ἂν οὐ μεταθέσθαι, ὥστε Γίγαντες,
ὑψηλῶν ὀρέων κορυφὰς καὶ πρῶνας ἄκρους;
ἐξαιρεῖσθαι ἑοῖο τόπῳ πολὺ θυμὸς ἀγήνωρ,
ὅντιν᾽ ἐπειγέμεναι εἰς ἀνώτερον ὕδατα θῶκον
οἶδεν, ἢ ἐξ ἄντροιο προχεύμενα ἠδὲ θαλάσσης
δαιδάλι᾽ ἐξευρισκόμενος λαίβηθρα χ᾽ ἑλιγμούς.
ὄργανα δ᾽ ἄλλα τε θαύματα πῶς σιγῇφι περήσω
εἰρήνῃ τάδε ἢ πολέμῳ χαρίεντα πόνοισι;
εἴκεν ἀρέσκουσ᾽ εἰρήνης περικαλλέος ἔργα.
οὐχὶ ἀναμνήσω, τὰ ἐφημερίη καταπράττει
δημολάλητα ἐφοπλείη λίαν, ὅτι πόληας
καὶ οἴκους δομέωσιν ἄκρους ἰδαρούς τε μύλας τε
δαιδάλιας δίχρους ἢ κοινά τε ὄργανα πλεῖστα
ἄλλα, καὶ ἃ ξείνων δοῦλοι πάμφυρτα δίδαξαν
ἐκμιμεῖσθαι, ἀγάλλοχον ἔς τε λίθους διαγλάπτειν
σχήματ᾽ ἢ ἐγγράφεμεν λιπαροῖς πολύτεχνα τάπησι
(οὐ τάδε ἐντὶ γραφῶν καὶ ποικιλέων νυ, καὶ ἔργα
ἑρμογλύφων, ἀλλ᾽ εἰδούντων εὕρημα Μάθησιν.)
κόσμῳ ἢ ἀνθρώπῳ τίδε θεσπεσιώτερον; ἠνὶ
ἀδιάλειπτος ἀπόβλεψις μέγα ποιεῖ ἄτιμα.
ἅρματα ἀλλάγεν αὐτομάτως θέοντα, νέας τε
ἐν ξηρῷ κυμβούσας τε λέγω, λαβυρίνθους,

γναπτοὺς

γναπτοὺς, ἢ σοφὸν ὡράων σημάντορα χαλκόν.
χρώματα οὔ τις θαυμάζοι; στερεάστρα τίθεσθαι
συστάσεις ἐνὶ ἰσοπέδῳ, νήϊστα ἐν ἄκροις,
πόῤῥωθεν κ' ἀπέχοντα ἐν ἀγχείοισι γράφεσθαι;
ὦ νόος θεῖε μαθηματικῶν, τὰ ἀμήχανα τεύχειν
οὐ διαγωνίζεις; κίνεες χαλεπώτατα ἄχθη
χειρὶ πάλαι ἐνὶ, καὶ γεφυρὰς ἔμπροσθεν ἀμέτρου
ἀμφίδεμες παρὰ πόντου, ἀπὸ πλημμυρίδος ἠδὲ
ῥύσκεσθαι μεγάλης εἶδες νηλώϊδα γαῖαν,
πολλὰ δράσεις πυρὸς καὶ συμπράττοντος ἄηρος.

ἄστεα εἰ πολέμοιο πολυκμήτοιο κυδοιμὸς
ἄρνυται ἐλλείπῃ κλὼ δυσμενέων στρατὸς ἀνδρῶν
τεύχεσι λαμπομένων, ἑνὸς ἐξαρκεῖται ἐρυσμὸς
εἰδότος τὰ μαθήματα, ὅσγ' ἀπερείσια ἐχθρῶν
φῦλα διακρούηται ἐϋδμήτων ἀπὸ πύργων.
οὐ μόνον ὑψηλοὺς δηΐων ἀνδρῶν ἀλεωρὴν
πύργους ἠλιβάτης καὶ τείχεα μακρὰ πολῆος
δειμάειν ἐμφράκτους τε πύλας τε ἐπάλξιας οἶδε.
ἀλλὰ μὲν ἢ σφερὰς μάλα καὶ στρόμβους βρεμέοντας
ἐξαπομὲν στέλλων κλείνει καὶ πήγμασιν ἄλλοις
σμήξει ἐνὶ πλῆθος μέγα ἐχθρῶν, ὥσπερ ἀτειρὴς
Ἀμφιτρύωνος υἱὸς γέμενος, κατάκτεινεν ἀριθμὸν
Κενταύρων μέγαν, ὥσπερ ἑοῖς ἐνὶ στήθεσι θυμὸν
ἄῤῥηκτον Σίμσων ἴσχων τῷ ὀδόντα λέοντος
ὠμοφάγοιο ὁμοῦ πολλοὺς ἀποκαίνυτο θυμοὺς.
τῶν εἰδησάμενος πάλ' ἐπὶ τραφερήν τε καὶ ὑγρὴν
δήϊος ἀμφέβαλεν στεφάνη μαλεροῖο μόθοιο
ὄκκα συρακούσας, μοῦνος σφῶν κάρτεϊ χειρῶν
νίκαε ἀρχιμέδης, ἢ τεχνήεσι κατόπτροις
νῆας ἐνιπρήσας, ἄλλαις ἢ κύρμασ' ἀμύνας.

Ποῖον ἀτὰρ τόδε θαῦμα; ὃν ἐκ δούροιο πελείας
καὶ ἀετοὺς βίον ἑλκέμεναι καί γ' ἠέρα ταρσοῖς

εὐκήλοισι

συνήλοισι ταρασσέμεν' ἢ ποιοῦσιν ἐκ αὐλοῦ,
οὐ τρίποδας Ἡφέστοιο πλάσσειν, καὶ ἀνθρώπους
ζῶα καὶ ἐκ χαλκοῖο μάλ' ἀλκάζοντα δυνῶνται;
εἰ δ' αὐταιρέμεναι ἀπαρέσκει μήτεν ἄπεσι
λαιψηραὶ πτέρυγες γ' ἐχθρῶν ἀπὸ γαῖαν ἐπ' ἄλλην
δαίδαλον ὡς ὀχμάζουσι. φυγαδείαν ἀνάπλω
τίπτε μαθηματικοῖς, θεὸς οἷς παρέδωκεν ἀοιδὴν
τερπνὴν, ὅπποτε θυμὸς, ἐποτρυνήσιν ἀείδειν
χερσί τε καὶ φώνηφι; πάλαι ποτὶ κτίσμα πόληος
Θήβης αὐτόματον, στερεαὶ λίθοι ἤλυθε φθόγγον
ἑσπόμεναι χέλυος, μολπῇσιν ἐφέσπετο ὕλη
πᾶσα πάλ' Ὀρφῆος πέτρη, ποταμῶν τε ῥέεθρα,
καὶ θῆρες, πάλ' Ἀλέξανδρον μέγαν ὦθεε δαιτὸς
μοῦνον γ' ἐκ περικαλλέος ἐκθορεέμμεναι. ἐχθρῶν
μηδὲ μαθηματικοὶ θυμοὺς κινέωσιν ἀοιδαῖς;
δῆτ' ἀποφθέγξονται θανάτοιο βαρὺ σθένος, ὥσπερ
νηὶ πολυκληΐδι πλέοντες ἐπ' οἴνοπα πόντον,
κήτεα εἰ θέλξωσιν ἀοιδάων ἐνοπῇσιν,
ὀβριμόγυια, σαώζονται, καὶ Ἀρίονα ὥσπερ
ἐν πόντῳ φθόγγος κιθαρῆς διασώζετ' ἄφοινον.
Σειρήνων τάδε ἐντὶ μέλη καὶ ταῦτα δυνάνται,
ὦ ἐρατεινά μου ἢ παντὸς θελκτήρια κόσμου
ταῦτα δυνάσθ' αὐδῆτε βροτῶν χέλυές τε λύραι τε.

Εἴκετε νῦν μαθηματικοῖς παιήονος υἱοὶ
ἰητροί, χεὶρ σφωιτέρη πολυάλγεα νούσων
πήματα ἀνθρώπων κρατέει θελγέμμεναι, ἀλλὰ
μὴ δύναται νέκυας μετὰ πότμον ἐγείρεμεν, ἄσσον
εἴθατε μὲν πλείους ψύχας ἀΐδι προϊάπτειν.
οἵδε βροτοῖς ζώοις ξυλίνοις καὶ ἄρνισι ζωὴν
τίς δοῦν' ἀγνοέει; φύσεως εἰ γνῶσιν ἔχοιντο,
πλείστους καὶ κρυεροῖσι μαραινομένους ἀπὸ νούσων
λωΐτερον σώσουσιν ἀκέσματα χρηστὰ νέμοντες.

Εἴκετε

Εἴκετε νῦν μαθηματικοῖς σεμνοὶ ἱερῆες
εὐδικίης, ὑμμων βουλαὶ καὶ μήδεα πυκνὰ
χρήσιμα κ' ἀνθρώποισι καλῶς αἰκοῦσιν ἅπαντες.
τοῖα καὶ εἰρήνη πολέμω φράζουσιν ἐκεῖνοι
μοῦνοι, πάντα διοικοῦντες τάδε πρήγματα κόσμου,
οὐχ ὅτιν οἰζυροὺς ἀροτῆρας, πράκτερας, ἄλλον
καὶ γλύος ἀνθρώπων εὔεκτον ἔχωσιν, ἄνακλας
πλεῖω καὶ εὐθύμους ἢ καῖσαρ ἀτέρμονα γαίης
ἀρχόμενον ποτὲ δωδεκαμήνου ἔπουσι χρόνοιο
ἤματα, ἧκεν ὁρίζονται μέτρον καὶ ἀριθμόν.
Τοῖα τίς ἀνθρώπων ἄλλος πρατλέμμεναι, ἠὲ
εἰδέμεναι δύναται; δύναθ' ὅν ῥα διόσδοτος αἴγλη
ἠθείης κατάλαμψε δαημοσύνης τε κράτους τε
δῆτα μαθηματικοὶ μοῦνοι τούτων τε ματηταὶ
γνήσιοι, οἱ μὲν ὄρη μεταθέντες εὖτι γίγαντες
οὐρανὸν οἵδε ἔχων Ατλας ἐπικείμενον ὤμοις
Ηρακλέης μέγας οἵδε σαόφρων οἵδε προμηθεύς.
οὐ γὰρ ἐγὼ τῶνδ' ἀντ' ἢ ἀργύροιο λάβοιμι
μήδ' ἂν καὶ χρυσοῖο θεόσδοτα πολλὰ τάλαντα
οὔτε νυ πελλαίοιο μεταλλάξαιμι θριάμβοις.
Αλλ' ὅτι φλαῦρα μέλη μεὸ θαύμασιν οὐχὶ πελέσκει
εἴκελα τοῖσι μαθηματικῶν (τίς ἄρ' εἴκελα λέξῃ)
ληγέμεναι χρόνος ἐστὶν ἀλήθεα ταυτὶ φανοῦσι
ῥήματα μὴ ἀπέρασα φανοῦσι ἢ ἔργματα παῦρα.

ΤΕ´ΛΟΣ.

a 2490

ULB Halle 3
003 485 986

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-237222-p0015-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-237222-p0016-8

XXXIII.

32

# DE MIRACVLIS MATHEMATICORVM

CARMEN, QVOD

in laudem mathematicarum disciplinarum & honorem præstanti doctrina & humanitate iuuenum DD.

*GEORGII BECCERI* } *Lipsiens.*
*MATERNI HERTELII* }
*IOANNIS SCHVLTESII Ermslebiensis,*

suorum amicorum, & quondam auditorum conscripsit & misit

M. Christoph. Hunichius D.

*Cum in solenni procerum Academiæ Lipsicæ conuentu, Philosophiæ & opt. art. Magistri dicerentur à clarissimo viro D. M. NICOLAO LISCA tum temporis Decano collegij philosophici.*

*HÆREDES IOHANNIS STEINMANNI IMPRIMEBANT.*

*Anno M. D. XC.*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-237222-p0017-4